εἰ ἀπέθαναν, βάδιζε μετ᾿ αὐτῶν· μὴ ἴδοιμέν σου υἱὸν ἢ θυγα- BA
10 τέρα εἰς τὸν αἰῶνα. [10]ταῦτα ἀκούσασα ἐλυπήθη σφόδρα ὥστε
ἀπάγξασθαι. καὶ εἶπεν Μία μέν εἰμι τῷ πατρί μου· ἐὰν ποιή-
σω τοῦτο, ὄνειδος αὐτῷ ἐστιν, καὶ τὸ γῆρας αὐτοῦ κατάξω μετ᾿
11 ὀδύνης εἰς ᾅδου. [11]καὶ ἐδεήθη πρὸς τῇ θυρίδι καὶ εἶπεν Εὐλο-
γητὸς εἶ, κύριε ὁ θεός μου, καὶ εὐλογητὸν τὸ ὄνομά σου τὸ
ἅγιον καὶ ἔντιμον εἰς τοὺς αἰῶνας· εὐλογήσαισάν σε πάντα τὰ
12 ἔργα σου εἰς τὸν αἰῶνα. [12]καὶ νῦν, κύριε, τοὺς ὀφθαλμούς μου
13 καὶ τὸ πρόσωπόν μου εἰς σὲ δέδωκα· [13]εἰπὸν ἀπολῦσαί με ἀπὸ
14 τῆς γῆς καὶ μὴ ἀκοῦσαί με μηκέτι ὀνειδισμόν. [14]σὺ γινώσκεις, κύ-
15 ριε, ὅτι καθαρά εἰμι ἀπὸ πάσης ἁμαρτίας ἀνδρὸς [15]καὶ οὐκ ἐμό-
λυνα τὸ ὄνομά μου οὐδὲ τὸ ὄνομα τοῦ πατρός μου ἐν τῇ γῇ τῆς
αἰχμαλωσίας μου. μονογενής εἰμι τῷ πατρί μου, καὶ οὐχ ὑπάρχει
αὐτῷ παιδίον, ὃ κληρονομήσει αὐτόν, οὐδὲ ἀδελφὸς ἐγγὺς οὐδὲ
ὑπάρχων αὐτῷ υἱός, ἵνα συντηρήσω ἐμαυτὴν αὐτῷ γυναῖκα. ἤδη
ἀπώλοντό μοι ἑπτά· ἵνα τί μοι ζῆν; καὶ εἰ μὴ δοκεῖ σοι ἀπο-
κτεῖναί με, ἐπίταξον ἐπιβλέψαι ἐπ᾿ ἐμὲ καὶ ἐλεῆσαί με καὶ μηκέτι

10 εστιν] εσται B† || 14 ανδρος] pr. και B*

---

ὅτι ἀπέθανον; βάδιζε μετ᾿ αὐτῶν, καὶ μὴ ἴδοιμεν υἱόν σου μηδὲ S
10 θυγατέρα εἰς τὸν αἰῶνα. [10]ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐλυπήθη ἐν τῇ
ψυχῇ καὶ ἔκλαυσεν καὶ ἀναβᾶσα εἰς τὸ ὑπερῷον τοῦ πατρὸς αὐ-
τῆς ἠθέλησεν ἀπάγξασθαι. καὶ πάλιν ἐλογίσατο καὶ λέγει Μήποτε
ὀνειδίσωσιν τὸν πατέρα μου καὶ ἐροῦσιν αὐτῷ Μία σοι ὑπῆρχεν
θυγάτηρ ἀγαπητὴ καὶ αὐτὴ ἀπήγξατο ἀπὸ τῶν κακῶν· καὶ κατάξω
τὸ γῆρας τοῦ πατρός μου μετὰ λύπης εἰς ᾅδου· χρησιμώτερόν
μοί ἐστιν μὴ ἀπάγξασθαι, ἀλλὰ δεηθῆναι τοῦ κυρίου ὅπως ἀποθάνω
11 καὶ μηκέτι ὀνειδισμοὺς ἀκούσω ἐν τῇ ζωῇ μου. [11]ἐν αὐτῷ τῷ και-
ρῷ διαπετάσασα τὰς χεῖρας πρὸς τὴν θυρίδα ἐδεήθη καὶ εἶπεν Εὐ-
λογητὸς εἶ, θεὲ ἐλεήμων, καὶ εὐλογητὸν τὸ ὄνομά σου εἰς τοὺς
αἰῶνας, καὶ εὐλογησάτωσάν σε πάντα τὰ ἔργα σου εἰς τὸν αἰῶνα.
12 [12]καὶ νῦν ἐπὶ σὲ τὸ πρόσωπόν μου καὶ τοὺς ὀφθαλμούς μου ἀν-
13 έβλεψα· [13]εἰπὸν ἀπολυθῆναί με ἀπὸ τῆς γῆς καὶ μὴ ἀκούειν με
14 μηκέτι ὀνειδισμούς. [14]σὺ γινώσκεις, δέσποτα, ὅτι καθαρά εἰμι ἀπὸ
15 πάσης ἀκαθαρσίας ἀνδρὸς [15]καὶ οὐχὶ ἐμόλυνά μου τὸ ὄνομα καὶ
οὐδὲ τὸ ὄνομα τοῦ πατρός μου ἐν τῇ γῇ τῆς αἰχμαλωσίας μου. μονο-
γενής εἰμι τῷ πατρί μου, καὶ οὐχ ὑπάρχει αὐτῷ ἕτερον τέκνον, ἵνα
κληρονομήσῃ αὐτόν, οὐδὲ ἀδελφὸς αὐτῷ ἐγγὺς οὔτε συγγενὴς αὐτῷ
ὑπάρχει, ἵνα συντηρήσω ἐμαυτὴν αὐτῷ γυναῖκα. ἤδη ἀπώλοντό μοι
ἑπτά, καὶ ἵνα τί μοί ἐστιν ἔτι ζῆν; καὶ εἰ μή σοι δοκεῖ ἀποκτεῖναί με,

9 σου ult. > S* || 10 αδους S*: cf. Sir. 17 27